# Canon 96 (De haereticis)

## ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΑΙΡΕΤΙΚΩΝ ϛ

Ἐρώτησις. Εἰ δεῖ μετὰ αἱρετικῶν ἢ μετὰ ἑλλήνων ἢ ἰουδαίων κατὰ συντυχίαν εὑρεθέντα που συνεσθίειν ἢ ἀσπάζεσθαι αὐτούς.

Ἀπόκρισις.

Τὸν μὲν ἀσπασμόν, τοῦτον δηλονότι τὸν κοινόν, ἐπ' οὐδενὸς ὁ κύριος ἀπηγόρευσεν, εἰπών· «Ἐὰν ἀσπάσησθε τοὺς φίλους ἡμῶν μόνους, τί περισσὸν ποιῆτε; οὐχὶ καὶ οἱ ἐ-θνικοὶ τοῦτο ποιοῦσι;» Περὶ δὲ τοῦ συνεσθίειν ἔχομεν παραγγελίαν τοῦ ἀποστόλου ἐπὶ τίνων χρὴ παραιτεῖσθαι τοῦτο, εἰπόντος· «Ἔγραψα ἡμῖν ἐν τῇ ἐπιστολῇ μὴ συνανα 199 μίγνυσθαι πόρνοις, καὶ οὐ πάντως τοῖς πόρνοις τοῦ κόσμου τούτου, ἢ πλεονέκταις ἢ ἅρπαξιν ἢ εἰδωλολάτραις, ἐπεὶ ὀφείλετε ἄρα ἐκ τοῦ κόσμου τούτου ἐξελθεῖν· νῦν δὲ ἔγραψα ὑμῖν, ἐάν τις ἀδελφὸς ὀνομαζόμενος ἢ πόρνος ἢ πλεονέκτης ἢ εἰδωλολάτρης ἢ λοίδορος ἢ μέθυσος ἢ ἅρπαξ ἐστί, τῷ τοιούτῳ μὴ συνεσθίειν».



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.